# 07 DECEMBRIE

# SLUJBA SF.MUCENITE FILOTEEA DE LA CURTEA DE ARGES

ATENA,2013


SF. M. Mtă
FILOTEEA

www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΠΑΙΔΟΜΑΡΤΥΡΟΣ

# Φ Ι Λ Ο Θ Ε Η Σ

## ΤΗΣ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

*

*

* * * * *

*

*

Ἀθῆναι 2013

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΠΑΙΔΟΜΑΡΤΥΡΟΣ

# Φ Ι Λ Ο Θ Ε Η Σ

## ΤΗΣ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

Ἡ Μνήμη αὐτῆς τελεῖται τῇ Ζ´ Δεκεμβρίου.

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.**

## Ε Ν Τ Ω Μ Ι Κ Ρ Ω Ε Σ Π Ε Ρ Ι Ν Ω

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος δ´. Ἔδωκας σημείωσιν.**

Παίδων τὰ ἀθύρματα
καταλιποῦσα ἠνάλωσας
σεαυτήν, ἀξιάγαστε
ταῖς χρείαις τῶν ἔγγιστα,
ἀγλεινῶς καμνόντων
καὶ πτωχῶν Τυρνόβου,
σῆς γενετείρας τῆς κλεινῆς,
ἧς καὶ τὴν χθόνα ῥοαῖς αἱμάτων σου
ἐπίανας, παιδόαθλε,
τῶν κορασίδων ὡράϊσμα,
Φιλοθέη πανεύφημε,
Θείας Χάριτος σκήνωμα.

Μάρτυς ὑπερένδοξε,
σοῦ μιαιφόνου γεννήτορος
ταῖς χερσὶν ἐμαρτύρησας,
παιδίσκη πανεύφημε,
ἐν τῇ ἡλικίᾳ
ἕνδεκά σου χρόνων
διὰ πολλήν σου προσφορὰν

πρὸς τοὺς πεινῶντας καὶ χρείαν ἔχοντας
καὶ Τύρνοβον ἡγίασας
τοῖς ὀχετοῖς τῶν αἱμάτων σου,
Φιλοθέη, τῆς πίστεως
θησαυρὲ πολυτίμητε.

**Σ**κήνωμά σου πάνσεπτον
κατὰ τὴν θείαν σου βούλησιν,
Φιλοθέη πανύμνητε,
ἐκ τοῦ μαρτυρίου σου
τόπου μετηνέχθη
εἰς τὴν Ῥουμανίαν
καὶ κατετέθη εὐλαβῶς
ἐν Ναϋδρίῳ σεπτῷ Γεννήσεως
τῆς μόνης Θεομήτορος
εἰς πόλιν Ἄρτζες τιμῶσάν σε
ὡς αὐτῆς ἀντιλήπτορα,
πολιοῦχον καὶ πρόμαχον.

**Φ**ρέαρ ἀκεσώδυνον
ὤφθη τὸ πάντιμον σκῆνός σου
καὶ κρουνὸς ἁγιάσματος,
ἰώμενος ἅπαντας
ἐξ ἐπιληψίας
πάσχοντας ταχέως,
παιδομαρτύρων καλλονή,
τῆς Θείας Χάριτος ἐνδιαίτημα,
καὶ νεανίδων κλέϊσμα,
ἡ σὺν Ἀγγέλοις χορεύουσα,
Φιλοθέη, ἐν δώμασιν
οὐρανίου λαμπρότητος.

**Δόξα. Ἦχος β΄.**

**Τ**ὴν θαυματόβρυτον παιδομάρτυρα,
Φιλοθέην τὴν ἀξιέραστον, ὕμνοις ἐγκωμιάσωμεν,
ὡς φιλανθρωπίας βάθρον ἀδιάσειστον
καὶ πίστεως πολύεδρον ἀδάμαντα,
οὕτω λέγοντες·
Ἡ χερσὶ πατρῴαις ἐν παιδικῇ ἡλικίᾳ τὸ ζῆν ἐκμετρήσασα
καὶ πρὸς παστάδα μεταστᾶσα οὐράνιον Ἀγγέλοις
συνευφραίνεσθαι,

μὴ παύσῃ Χριστὸν ἡμῖν ἱλεουμένη
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον**

Τὴν πᾶσαν ἐλπίδα μου...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ἡ εὐλαβὴς
παιδίσκη τοῦ Τυρνόβου
ἡ λάμψασα ἐν κόσμῳ
ἀκτῖσι, Φιλοθέη,
λαμπραῖς φιλανθρωπίας σου.

**Στίχος.** Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαῖρε, θαυματουργὲ
τοῦ Ἄρτζες Ῥουμανίας
Ἁγία, Φιλοθέη,
χερσὶν ἡ μιαιφόνοις
κτανθεῖσα σοῦ γεννήτορος.

**Στίχος.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ
κατεύθυνε τὰ
διαβήματά μου.

Χαῖρε, ὁ χορτασμὸς
πεινώντων, Φιλοθέη,
κανὼν φιλανθρωπίας
καὶ συμπαθείας ἄκρας
πρὸς ἐνδεεῖς καὶ πένητας.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ τροφεύς,
Θεέ, τῶν Σῶν πλασμάτων,
Τριὰς ὑπεραγία,
διὰ βροτῶν τὸ γένος
ὁ μεριμνῶν ἀείποτε.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, Μῆτερ Θεοῦ,

ἡ εὐλογοῦσα πάντας
τοὺς μεγαλύνοντάς σε
καὶ ῥυομένη πόνων
τοὺς πίστει σοι προστρέχοντας.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛτ´ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

**Τ**ὴν παιδομάρτυρα ὕμνοις
ἀνευφημήσωμεν
εὐήχοις, Φιλοθέην,
τοῦ Τυρνόβου τὸ εὖχος,
ὡς Θείου Παρακλήτου τῶν δωρεῶν
πολυτίμητον σέμνωμα
καὶ ἰαμάτων ἀσύλητον θησαυρὸν
φιλεόρτων τὰ συστήματα.

**Φ**ιλανθρωπίας σου τρόπους
καὶ ἀγαθότητα
σῆς παιδικῆς καρδίας
προτροπῇ μητρυιᾶς σου
φθονήσας, Φιλοθέη, ὁ σὸς πατὴρ
ταῖς παλάμαις ἐφόνευσε
ταῖς ἀνοσίαις, παιδόαθλε, ταῖς αὐτοῦ,
καλλιμάρτυς παμμακάριστε.

**Τ**ὴν εὐκλεῆ Φιλοθέην
ἀνευφημήσωμεν,
διακοσμοῦσαν Ἄρτζες
Ῥουμανίας τὴν πόλιν
αὐτῆς τῷ πανιέρῳ σκήνει τρανῶς
ἐκβοῶντες· Παιδόαθλε,

θεόθεν σκέπε καὶ λύτρωσαι πειρασμῶν
καὶ κινδύνων τοὺς ἱκέτας σου.

Διαβληθεῖσαν ἀδίκως
εἰς τὸν γεννήτορα
αὐτῆς ὑπὸ κακίστης
μητρυιᾶς, Φιλοθέην,
ἐλέους διὰ σπλάγχνα καὶ οἰκτιρμῶν
πρὸς πεινῶντας καὶ στένοντας
αὐτῆς ἐκθύμως ὑμνήσωμεν ἐν χορῷ
φιλεόρτων τὰ συστήματα.

Ὑπερφυῶς ἐβαρύνθη
ὑπὲρ τὸν μόλυβον
τὸ πάνσεπτόν σου σκῆνος,
θαυμαστὴ Φιλοθέη,
ὃ ξένως ἐλαφρύνθη θείας Μονῆς
Ἄρζες ταῖς ἐπικλήσεσιν,
νῦν σὲ ἐχούσης θησαύρισμα καὶ πηγὴν
ἰαμάτων, χαριτόβρυτε.

Τὴν σὴν πανίερον μνήμην
πανηγυρίζοντες
ἐν ὕμνοις, Φιλοθέη,
παιδομάρτυς ἁγία,
αἰτούμεθα λιτάς σου θεοπειθεῖς
πρὸς χαρὰν ἀδιάπτωτον
καὶ τῆς νεότητος πρόοδον ἀληθοῦς
ἀρετῆς πρὸς ὁλοκλήρωσιν.

**Δόξα. Ἦχος πλ. β´.**

Τὴν χειρὶ πατρῴᾳ στυγνῶς καὶ ἀδίκως κτανθεῖσαν
παιδομάρτυρα Φιλοθέην ἐγκωμιάσωμεν,
τὴν ἑνδεκαετῆ μεταστᾶσαν πρὸς παστάδα οὐράνιον
Ἀγγέλοις συνεπαγάλλεσθαι,
ὡς εὐσεβείας εὐῶδες μυράλειπτρον, λέγοντες·
Ἡ συμπαθείας πρὸς τοὺς πένητας δαψιλεστάτη κρήνη,
ἡ κιρνῶσα νάματα ἀγάπης σου,
μὴ παύσῃ ἐκ τῆς οὐρανίου μακαριότητός σου
ἁγιάζουσα τοὺς τιμῶντάς σε νάμασιν εὐχῶν διαθέρμων σου.

**Καὶ νῦν.** **Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,....

**Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. λα΄ 10 - 31 )**

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἄν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σαφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

**Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μγ´ 9 - μδ´ 1 )**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1 - 9 )**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**
**Ἰδιόμελα**

**Ἦχος α´.**

Τὴν φιλανθρωπίαν ἀγαπήσασα σὺν τῇ φιλοθεΐᾳ

ὑπὲρ τὰ τῶν παίδων ἀθύρματα
μαρτυρικῶς ἀπῆλθες ἐν παιδικῇ ἡλικίᾳ πρὸς Κύριον
χερσὶ πατρός σου ἀνοσίαις, Φιλοθέη πάνσεμνε·
Αὐτῷ οὖν συναγαλλομένη
ὡς καλῶς καὶ θεαρέστως τὸν ἀγῶνα τελέσασα,
χάριν εὗρες Αὐτὸν ἀπαύστως ἱκετεύειν
ὑπὲρ τῶν τιμώντων ἐκθύμως τὴν μνήμην σου.

**Ἦχος β΄.**

**Π**ροκρίνασα Θεῷ μᾶλλον ἀρέσκειν ἢ ἀνθρώποις
καὶ ὑπὲρ τῆς Ἐκείνου εἰκόνος, τῶν συνανθρώπων σου,
ἑαυτὴν ἀναλίσκειν, Φιλοθέη,
μαρτυρικῶς πρὸς Αὐτὸν ἀπῆλθες·
Ὅθεν ὡς παιδομάρτυρα φιλάνθρωπον
οἱ πιστοὶ σὲ μεγαλύνομεν
τὴν πεπλησμένην συμπαθείας καὶ ψυχικῆς γενναιότητος,
τὰς ἀδιαλείπτους σου εὐχὰς πρὸς Κύριον αἰτούμεθα,
τὸν παρέχοντα πᾶσι τὸ μέγα ἔλεος.

**Ἦχος γ΄.**

**Π**ερικεκοσμημένη μαρτυρικῇ ἁλουργίδι
καὶ ἐστεμμένη διαδήματι χρυσοπλόκῳ ἀγάπης πρὸς πένητας
κατέλιπες ἑνδεκαετὴς τὸν μάταιον κόσμον, Φιλοθέη,
καὶ εἰσῆλθες εἰς παστάδα οὐράνιον αἰωνίου ἀγαλλιάσεως·
Χάριν οὖν πολλὴν εὑροῦσα ὡς Χριστὸν ὑπὲρ πάντας ἀγαπήσασα
Αὐτὸν ἐκτενῶς ἱκέτευε ὑπὲρ τῆς χριστωνύμου νεότητος
καὶ σωτηρίας τῶν τιμώντων τὴν μνήμην σου.

**Ἦχος δ΄.**

**Τ**ὸ πάνσεπτον και χαριτόβρυτον σκήνωμά σου, Φιλοθέη,
μετακομισθὲν κατὰ τὴν ἰδικήν σου ἐπιθυμίαν
ἐκ τοῦ Τυρνόβου εἰς Ἄρτζες Ῥουμανίας
πηγὴ δαψιλεστάτη χαρίτων ἐδείχθη, θαυματόβρυτε·
ὡς οὖν θεραπεύουσα πάντας τοὺς προσκυνοῦντας σε
καὶ ἐκ τῆς ἐπιληψίας ἐξαιρέτως αὐτοὺς ἀπαλλάττουσα
ἰάτειρα ἀπεφάνθης ταχεῖα, παιδομάρτυς,
τῶν τιμώντων ἐν ὕμνοις τὴν ἀεισέβαστον μνήμην σου.

**Δόξα.** **Ὁ αὐτός.**

Ἐν ἁπαλῷ παιδικῷ σαρκίῳ πολιὸν κρύπτουσα φρόνημα
καὶ προκρίνασα διδόναι μᾶλλον ἀγάπην ἢ λαμβάνειν,
θεαρέστως τὸν σύντομον ἐπὶ γῆς βίον σου ἠνάλωσας·
μαρτυρικῶς οὖν χερσὶ τοῦ ὀργίλου πατρός σου ἀθλήσασα
μετέστης πρὸς Ὃν ἠγάπησας Κύριον
αἰωνίως Αὐτῷ συνευφραίνεσθαι
καὶ πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** **Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄.** **Χαίροις, ἀσκητικῶν.**

Χαίροις, παιδομαρτύρων λαμπάς,
περιστερὰ ἡ χρυσοπτέρυξ πρὸς πένητας
καὶ πάσχοντας συμπαθείας,
τῆς ἀρετῆς ἀετός,
τοῦ Χριστοῦ στρουθίον
ἀγαπήσεως,
Τυρνόβου ἐκβλάστημα,
παρθενίας λευκάνθεμον,
εὐῶδες κρίνον
ψυχικῆς γενναιότητος,
ἡ προκρίνασα
ὑπὲρ πάντας οἰκείους σου
τῷ Βασιλεῖ τῆς κτίσεως
ἀρέσκειν, καλλίνικε,
ἡ ἐν μικρᾷ ἡλικίᾳ
μεγάλους ἐπιτελέσασα,
πανεύφημε, ἄθλους,
Φιλοθέη, εὐσεβείας
κανὼν εὐθύτατε.

**Στίχος.** Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαίροις, ἡ μιαιφόνῳ χειρὶ
τοῦ σοῦ γονέως τοῦ ὀργίλου ἀθλήσασα
ὑπείκοντος μητρυιᾶς σου
κακίστης λόγοις σαπροῖς,

Μάρτυς Φιλοθέη,
παναοίδιμε,
ἐν πόλει πατρῴᾳ σου
τοῦ Τυρνόβου, ἣν αἵμασι
τοῖς παιδικοῖς σου
ἀγυιὰς ἐπορφύρωσας,
νύμφη πάγκαλε
Ἰησοῦ Παντοκράτορος·
ὅθεν τὴν θείαν μνήμην σου
λαμπρῶς ἑορτάζοντες
τῶν Χριστωνύμων ἁπάντων
φιλομαρτύρων οἱ σύλλογοι
τὰς σὰς ἱκεσίας
πρὸς Χριστόν, τὸν στεφοδότην,
ἀπεκδεχόμεθα.

**Στίχος.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

**Μ**νήμην ἐν εὐλαβείᾳ πολλῇ
ἡ πόλις Ἄρτζες Ῥουμανίας κατέχουσα
τὴν θήκην σκηνώματός σου
ἐπιτελεῖ, εὐσταλὲς
Μάρτυς, Φιλοθέη,
παίδων σέμνωμα,
καὶ σπεύδει ἑκάστοτε
τῇ δοθείσῃ σοι χάριτι
ἐν βίου ζάλαις
καὶ ἀνάγκαις καὶ θλίψεσιν,
ἀξιάγαστε,
τοῦ Χριστοῦ νύμφη πάνσεμνε·
εὗρες γάρ, παναμώμητε,
ἰσχὺν τοῖς τιμῶσί σε
παρέχειν πρόσφορα πᾶσι
καὶ ἐξαιρέτως ὑγίειαν
καὶ τὴν θεραπείαν
ἐξ ἐπιληψίας νόσου
τοῖς σοὶ προστρέχουσι.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Θ**αυμάζων ὁ Ὕψιστος τὴν πρὸς Αὐτὸν ἀγάπην σου

καὶ τὴν συμπάθειάν σου πρὸς τοὺς πένητας,
δι’ ἣν καὶ μαρτυρικῶς ἐτελειώθης, Φιλοθέη,
λαμπρῶς σε ἐδόξασε ποικίλοις θαύμασιν·
ὅθεν καὶ ἡμεῖς τὴν πανσεβάσμιον μνήμην σου ἑορτάζοντες
καὶ τὴν μαρτυρικὴν ἀριστείαν σου ἐπαινοῦντες
τὰς θεοπειθεῖς σου λιτὰς ἐκδεχόμεθα,
ἵνα χάριν εὕρωμεν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις....**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Μ**ιαιφόνου πατρός σου ὀργὴν κατέπαυσας
μαρτυρικῷ σου θανάτῳ,
Τυρνόβου εὖχος σεπτόν,
Φιλοθέη, παιδομάρτυς, ἡ ἐκλάμψασα
φιλοθεΐας ἀστραπαῖς
καὶ ἀκτῖσι νοηταῖς
ἀφάτου φιλανθρωπίας,
καὶ χάριν εὗρες σκεδάζειν
νόσων ἡμῶν εὐχαῖς σου ζόφωσιν.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον τῆς ἁγίας, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

**Π**αιδόαθλε σεμνή,
θαυμαστὴ Φιλοθέη,
ἡ ἑνδεκαετὴς
τοῦ Χριστοῦ, χαῖρε, Μάρτυς,
χερσὶν ἡ ἀθλήσασα
μιαιφόνοις γεννήτορος
σοῦ ἀλλόφρονος

ἐξ εὐποιΐας σου ἔργων
καὶ ἀγάπης σου
πρὸς τοὺς πεινῶντας Τυρνόβου,
εὐσήμου πατρίδος σου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Εἰρήνευσον ἡμῶν
τὴν ζωὴν καὶ τὰ ἔργα
ἁγίασον, ἁγνή,
Θεοτόκε Παρθένε,
τῶν μακαριζόντων σε
ὡς προστάτιν ἀνύστακτον,
σκέπην ἄγρυπνον
καὶ ταχινὴν προστασίαν
τῶν ἐν θλίψεσι
καὶ λυπηροῖς, Παναγία,
πιστῶν ἀγαλλίαμα.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Παιδίσκην ὑμνήσωμεν
τὴν θεαυγῆ εὐλαβῶς,
χερσὶν ἐναθλήσασαν
τοῦ μιαιφόνου πατρὸς
αὐτῆς καὶ τοῖς αἵμασι
χρώσασαν τοῦ Τυρνόβου
Βουλγαρίας τὴν χθόνα,
ἔνδοξον Φιλοθέην,
τὴν ἀμνάδα Κυρίου
πανάσπιλον Χριστοῦ τοῦ Θεοῦ
ὡς καλλιμάρτυρα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἡμῶν τῆς νεότητος
καταφυγὴ ἐν δεινοῖς,
ἀνάγκαις καὶ θλίψεσι,
Θεογεννῆτορ σεμνή,
ἐξ ὕψους εὐκλείας σου
σκέπε τὴν νεολαίαν

τὴν Ὀρθόδοξον, Μῆτερ,
καὶ καθοδήγει ταύτην
πρὸς ὁδοὺς εὐφροσύνης,
προόδου καὶ χαρᾶς ἀληθοῦς
σαῖς παρακλήσεσι.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὴν παιδομάρτυρα τὴν χαριτόβρυτον,
ἧς θεῖον σκήνωμα βρύει ἰάματα
καὶ ἁγιάζει τοὺς πιστοὺς ἐν Ἄρτζες τῆς Ῥουμανίας,
Φιλοθέην, μέλψωμεν, συμπαθείας ἀκρώρειαν
πρὸς πτωχοὺς καὶ στένοντας τοῦ Τυρνόβου κραυγάζοντες
εὐτάκτοις μελῳδίαις καὶ ὕμνοις· Χαῖρε, τῶν θαυμασίων φρέαρ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
**Στίχος.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

**Εὐαγγέλιον κατὰ Μᾶρκον.**
**Ζήτει τῇ Δευτέρᾳ τῆς ιε΄ ἑβδομάδος Ματθαίου.**
Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν....

**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.** Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὁλοθύμως τοὺς πτωχοὺς ἀγαπήσασαν
καὶ πλούτου οὐρανίου εὐκλείας δι’ ἀθλήσεως ἀπολαύουσαν,
Φιλοθέην, τιμήσωμεν, τὴν τοῦ Τυρνόβου παιδομάρτυρα,
περισκέπουσαν νῦν καὶ περιφρουροῦσαν Ἄρτζες τοὺς ἐνοίκους,
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ἡ χαριτωθεῖσα δαψιλῶς οὐρανόθεν
καὶ νόσον ἐπιληψίας ἐξαιρέτως θεραπεύουσα,
Χριστόν, τὸν σὲ δοξάσαντα, ἡμῖν ἱλέωσαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου......

**Εἶτα ὁ Κανὼν τῆς Ἀθληφόρου, οὗ ἡ Ἀκροστιχίς·**

**«Παιδίσκης μάρτυρος Φιλοθέης αἶνος. Χ. Μ.»**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Παιδίσκης ὑμνήσωμεν
τῆς καλλιμάρτυρος ἄθλησιν,
Τυρνόβου βλαστήματος
καὶ εὐσεβείας πυρσοῦ
τοῦ φωτίσαντος
τον κόσμον, Φιλοθέην,
ἀγάπης πυρσεύμασι
πάντα πρὸς πάσχοντα.

Ἀνδρείας ὑπάρχουσα
περιφανὲς σεμνολόγημα,
παιδίσκη πανεύφημε,
νύμφη Χριστοῦ τοῦ Θεοῦ
ὑπεράμωμε,
τὸν σύντομόν σου βίου
παλάμαις ἐτέλεσας
σοῦ τοῦ γεννήτορος.

Ἰσχὺν καὶ εὐπρέπειαν
ἐνδεδυμένη τῆς πίστεως
ἐκ βρέφους ἠνάλωσας
τῇ συμπαθείᾳ πτωχῶν
βίον σύντομον

σὸν θεῖον, Φιλοθέη,
ἐν οἷς τὸν Νυμφίον σου
ἔβλεπες Κύριον.

**Θεοτοκίον.**

Δυνάμεως ἔμπλησον
τοῦ σοῦ Υἱοῦ, Μητροπάρθενε,
τοὺς σὲ μακαρίζοντας,
Θεογεννῆτορ σεμνή,
καὶ ἐν ᾄσμασι
τιμῶντας Φιλοθέην,
Τυρνόβου ὡράϊσμα,
τὴν παιδομάρτυρα.

**ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἱλέωσαι Κτίστην, Φιλοθέη,
τοῖς σὲ ἀνυμνοῦσιν εὐλαβῶς
ἐλέους ὥσπερ χείμαῤῥον
πολύῤῥυτον, πανεύφημε
παιδόαθλε, καὶ ἄφθονον
πηγὴν πιστῶν ἁγιάσματος.

Συνέσεως βάθρον, Φιλοθέη,
ἀθύρματα πάντα παιδικὰ
καὶ τὰς ματαίας φεύγουσα
ἀναστροφὰς ἐσχόλαζες
τῇ προσευχῇ καὶ πράξεσι
τῆς εὐποιΐας, παιδόαθλε.

Κακία συζύγου τῆς δευτέρας
πατρός σου ἐξῆψε κατὰ σοῦ
αὐτοῦ ὀργήν, ὥς ἔμαθεν
ὅτι αὐτοῦ ἐδέσματα
διατροφῆς διένειμες
τοῖς ἐνδεέσι καὶ πάσχουσι.

**Θεοτοκίον.**

Ἡ μόνη ἐν δίναις ἀντιλήπτωρ
καὶ σκέπη ἐν βίου συμφοραῖς

καὶ πάσαις περιστάσεσι,
Θεογεννῆτορ ἄχραντε,
ἐπάκουσον δεήσεων
ἡμῶν θερμῶς προστρεχόντων σοι.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Τὴν εὐγένειαν τῆς σῆς καρδίας
ἐν τοῖς χρόνοις σου προεφηβείας
καὶ συμπάθειάν σου πάντας πρὸς πάσχοντας
ὁ σὸς Νυμφίος καὶ Κτίστης θεώμενος
μαρτυρικοῦ, Φιλοθέη, σέ, πάναγνε,
κατηξίωσαι καὶ στέφει αἰωνιότητος
κατέστεψε, παιδόαθλε, τὴν κάραν σου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τῆς νεότητος ἡ προστασία,
παίδων στήριγμα, χειραγωγία
καὶ ἀντίληψις ταχεῖα, Μητρόθεε,
τῆς Φιλοθέης θερμαῖς παρακλήσεσι
τὴν νεολαίαν ὁδήγει πρὸς θέωσιν
τὴν τιμῶσάν σε καὶ πίστει σοι καταφεύγουσαν
ἐν βίου πειρασμοῖς καὶ περιστάσεσι.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Σωφροσύνῃ καὶ ἁγνείᾳ,
Φιλοθέην πανύμνητον,
τὴν κεκοσμημένην
ὕμνοις παιδομάρτυρα μέλψωμεν,
τὴν μιαιφόνῳ πατρὸς χειρὶ ἀθλήσασαν
καὶ φοινίξασαν
Τυρνόβου ῥύμας τοῖς αἵμασι.

Μάρτυς ἐν προεφηβείᾳ,
Φιλοθέη, ἀθλήσασα
εἴληφας βραβεῖα
οὐρανόθεν πολυτιμότατα
τῆς συμπαθείας σου πάντας πρὸς τοὺς πάσχοντας
καὶ ἐνδόξου σου
μαρτυρικῆς τελειώσεως.

Ἀριστείας ἐκμαγεῖον,
Φιλοθέη, κατέπαυσας
τὴν ὀργὴν πατρός σου,
λιμενοβραχίων ὡς κύματα
θαλάσσης, Μάρτυς παιδίσκη παναμώμητε,
προπυργίῳ σου
ὑπομονῆς ἐν κολάσεσι.

**Θεοτοκίον.**

Ῥύπον πλῦνόν μου πταισμάτων
τῶν πολλῶν, Μητροπάρθενε,
νάμασιν εὐχῶν σου
ῥυπτικῶν πρὸς Τόκον σου Ἅγιον
καὶ τῷ ὑσσώπῳ τῆς θείας προστασίας σου
πρὸς τὸν σῴζοντα
ἐκ τοῦ θανάτου τοὺς δούλους σου.

**ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ταμεῖον ἀσύλητον
ἰάσεων τὸ σκῆνός σου
ὤφθη, Φιλοθέη παιδομάρτυς,
ἡ οὐρανόθεν
λαβοῦσα χάριν πολλὴν
πραΰνειν τὰ ἄλγη τῆς σαρκὸς
καὶ διώκειν πνεύματα
πονηρὰ καὶ ἀκάθαρτα.

Ὑμνοῦντες μαρτύριον
τὸν πάνσεπτόν σου, ἔνδοξε,
ὃ χερσὶν ὑπέμεινας πατρός σου
ταῖς ἀνοσίαις
σῆς μητρυιᾶς προτροπῇ
δοξάζομεν θαύμασι πολλοῖς
τὸν ἀντιδοξάσαντα
σὲ Δεσπότην καὶ Κύριον.

Ῥανίσιν αἱμάτων σου
ἡγίασας τὸ Τύρνοβον,
γόνε τούτου, Μάρτυς Φιλοθέη,

ἡ σαῖς πρεσβείαις
χορείας προσκυνητῶν
σοῦ σκήνους τοῦ θείου, θαυμαστή,
ἐν τῷ Ἄρτζες πάντοτε
ἁγιάζεις, παιδόαθλε.

**Θεοτοκίον.**

Ὁδὸν μοι ὑπόδειξον
θεώσεως, Μητρόθεε,
Κεχαριτωμένη Παναγία,
τῷ καθ' ἑκάστην
σὲ ἀνυμνοῦντι λαμπρῶς
ἰθύντειραν ὥσπερ ἀπλανῆ
πάντων πρὸς σκηνώματα
οὐρανῶν, παντευλόγητε.

**ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.**

Σέ, Φιλοθέη, γεραίροντες
ἐκθύμως φιλεόρτων οἱ σύλλογοι
ὡς παιδομάρτυρα
τὸ σὸν πανίερον σκήνωμα,
ἰάματα τὸ βρῦον,
κατασπαζόμεθα.

Φωτὶ εὐχῶν διαθέρμων σου
παθῶν ἡμῶν σκεδάζεις σκοτόμαιναν
μακαριζόντων σε,
ὥσπερ προσφύγων ἰάτειραν
θερμῶν σου, Φιλοθέη
θεομακάριστε.

Ἰδεῖν Χριστοῦ κατηξίωσαι
Νυμφίου οὐρανίου σου πρόσωπον
πόλου ἐν δώμασιν
ὄμμασι, Μάρτυς, ἰδίοις σου,
τοῦ θαυμασίων κρήνην
σὲ ἀναδείξαντος.

**Θεοτοκίον.**

Λαμπὰς ἁγνείας ἀείφωτε
καὶ λύχνε συμπαθείας πρὸς δούλους σου
ἐν περιστάσεσι,
λῦσον παθῶν τὴν σκοτόμαιναν
τῶν σὲ μακαριζόντων,
Θεογεννήτρια.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Σεμνὴν παιδίσκην τοῦ Τυρνόβου εὐφημήσωμεν,
ταῖς μιαιφόνοις πατρικαῖς χερσὶν ἀθλήσασαν,
Φιλοθέην, τὴν ἀκτῖσι φιλοθεΐας
τηλαυγῶς καὶ συμπαθείας πρὸς τοὺς πένητας
διαλάμψασαν, ὡς φέγγος ἀγαθότητος,
πόθῳ κράζοντες· Χαίροις, Μάρτυς παιδόαθλε.

**Ὁ Οἶκος.**

Ἄγγελος συμπαθείας
πρὸς τοὺς πένητας, Μάρτυς
καλλίπαις, Φιλοθέη, ἐπώφθης,
ἡ κτανθεῖσα χειρὶ πατρικῇ,
τοῦ Τυρνόβου γόνε καὶ Ναοῦ σέμνωμα
τοῦ Ἄρτζες· ὅθεν ἅπαντες
ἐν ὕμνοις μελιχροῖς βοῶμεν·

Χαῖρε, τὸ κλέος τῆς Βουλγαρίας·
χαῖρε, τὸ εὖχος τῆς Ῥουμανίας.

Χαῖρε, συμπαθείας κρηπὶς ἀδιάσειστος·
χαῖρε, εὐσεβείας φανὸς τηλαυγέστατος.

Χαῖρε, γέρας πολυτίμητον κορασίδων εὐλαβῶν·
χαῖρε, σέλας παμφαέστατον ἀθληφόρων εὐσταλῶν.

Χαῖρε, ἐπιληψίας ταχινὴ θεραπεία·
χαῖρε, τῆς Ἐκκλησίας βοηθὸς ἡ ταχεῖα.

Χαῖρε, Μαρτύρων παίδων ἡ σύναυλος·
χαῖρε, Ἀγγέλων θείων ὁμόσκηνος.

Χαῖρε, σεμνῶν κορασίδων φαιδρότης·
χαῖρε, πολλῶν θαυμασίων ἀκρότης·

Χαίροις, Μάρτυς Παιδόαθλε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Ζ΄ Δεκεμβρίου. Εἶτα λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας ἐνδόξου Παιδομάρτυρος Φιλοθέης, τῆς ἐκ Τυρνόβου Βουλγαρίας καὶ ἐν Ἄρτζες Ῥουμανίας, τῆς θαυματουργοῦ.

**Στίχοι.**

Φιλανθρώπως δρῶσα χειρί, Φιλοθέη,
μιαιφόνου πατρός σου πρὸς Θεὸν ἤρθης.

**Συναξάριον.**

Ἡ Ἁγία Παιδομάρτυς Φιλοθέη ἐγεννήθη περὶ τὰς ἀρχὰς τοῦ δεκάτου τρίτου αἰῶνος ἐν Τυρνόβῳ Βουλγαρίας ἐκ γονέων ἁπλῶν καὶ ἀγραμμάτων. Ἐν νεαρᾷ ἡλικίᾳ παρέμεινεν ὀρφανὴ ἐκ τῆς εὐσεβοῦς αὐτῆς μητρὸς τῆς διαθρεψάσης αὐτὴν ἐν παιδείᾳ Κυρίου. Ἡ εὐσεβὴς Φιλοθέη ηὔξανε σὺν τῇ ἡλικίᾳ καὶ ἐκραταιοῦτο ἐν τῇ ἀρετῇ, ταῖς ἐλημοσύναις, τῇ προσευχῇ καὶ τῇ ἐν γένει Χριστιανικῇ προσφορᾷ πρὸς τοὺς ἐνδεεῖς καὶ τοὺς πάσχοντας. Οὕτως ἀγογγύστως ὑπέμενε τὴν σκληρότητα τῆς μητρυιᾶς αὐτῆς μετὰ τὸν ἐκ νέου γάμον τοῦ αὐτῆς πατρός. Διαταχθεῖσα ἔν τινι χρόνῳ ὑπὸ τῆς μητρυιᾶς αὐτῆς μετενεγκεῖν τροφὰς εἰς τὸν ἐν ἀγρῷ ἐργαζόμενον πατέρα αὐτῆς ἡ Φιλοθέη καθ' ὁδὸν διένειμε τὰς τροφὰς τοῖς πένησι. Γνοὺς αὐτὸ ὁ πατὴρ αὐτῆς ὠργίσθη σφόδρα καὶ τὴν ἐπομένην σχὼν ἰδίαν ἀντίληψιν τῆς ὑπ' αὐτῆς διανομῆς τῶν τροφῶν διὰ ῥοπάλου ἔτυψεν αὐτήν, διὰ σχοινίων ἔδησε καὶ διὰ τῶν ποδῶν ἐπάτησεν αὐτὴν, τὴν ἄγουσαν το ἐνδέκατον ἔτος τῆς ἡλικίας, ἄχρι θανάτου. Ἦτο ἡ ἑβδόμη Δεκεμβρίου τοῦ 1218.

Μὴ δυναμένου τοῦ παιδοκτόνου πατρὸς ἆραι τὸ λείψανον τῆς θυγατρὸς αὐτοῦ διὰ τὸ βάρος αὐτοῦ τὸ παράδοξον παρεδόθη εἰς τὰς ἀρχὰς καὶ ὁ Ἐπίσκοπος ἐπισκεψάμενος τὸ σημεῖον τοῦ στυγεροῦ ἐγκλήματος μετὰ πλήθους Ἱερέων οὐκ ἠδυνήθη ἆραι αὐτὸ πρὸς ἐνταφιασμόν. Μνημνευόντων αὐτῶν πολλῶν Ἱερῶν Ναῶν καὶ Μονῶν τῆς Βουλγαρίας πρὸς μετακομιδὴν τοῦ σκηνώματος εἰς αὐτὰ τὸ σκήνωμα παρέμενεν πάμβαρον ἕως οὗ ἐγένετο μνεία τῆς ἐν Ἄρτζες Ῥουμανίας Μονῆς Κουρτέα. Τότε ξένως τὸ σκήνωμα ἐγένετο ἐλαφρὺ δεικνῦον τὴν ἐπιθυμίαν τῆς Μάρτυρος ἐνταφιασθῆναι ἐν αὐτῷ.

Μαθὼν αὐτὸ ὁ ἡγεμὼν τῆς Ῥουμανίας Ῥάδος μεθ’ ὅλου τοῦ κλήρου καὶ τοῦ λαοῦ ὑπεδέξατο παρὰ τὸν Δούναβιν ποταμὸν τὸ ἱερὸν σκήνωμα καὶ κατέθετο αὐτὸ μετὰ τιμῶν καὶ ὕμνων καὶ θυμιαμάτων ἐν τῷ Παρεκκλησίῳ τῆς Γεννήσεως τῆς Θεοτόκου τοῦ Ναοῦ τοῦ Ἄρτζες, ἔνθα ἄχρι τοῦ νῦν θησαυρίζεται ἐν ἀργυρογλύπτῳ λάρνακι. Ἔκτοτε αὐτὸ ἀνεδείχθη πηγὴ ἰαμάτων τοῖς μετὰ πίστεως αὐτὸ προσκυνοῦσιν ἐξαιρέτως τοῖς ἐξ ἐπιληψίας πάσχουσι.

Ταῖς αὐτῆς ἁγίαις πρεβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Οὐρανόφοιτε
παιδόαθλε, ἰάσεων
πηγὴ ἀκένωτε,
τὰς ἀσθενείας ἡμῶν
θεράπευσον τάχιστα,
τῶν προσιόντων σοι
καὶ σὸν σκήνωμα
ἐν Ἄρτζες τὸ πανάγιον
προσκυνούντων, Φιλοθέη.

Θείας πίστεως
λευκάνθεμον πανεύοσμον
καὶ ἴον πάντερπνον
θεοφιλοῦς ἀγωγῆς,
ὀδμαῖς σου κατηύφρανας
στεῤῥᾶς ἀθλήσεως
τοὺς τιμῶντάς σε
ἐν ᾄσμασι, παιδόαθλε,
μελιῤῥύτοις, Φιλοθέη.

Εὐωδέστατον
κιννάμωμον, καλλίνικε
Μάρτυς τῆς πίστεως,
ἀγάπης πρὸς ἐνδεεῖς
καὶ πάσχοντας ηὔφρανας
τοὺς ἀνυμνοῦντάς σε
καὶ τῷ σκήνει σου
τοὺς προσιόντας, ἔνδοξε,
τῷ ἁγίῳ, Φιλοθέη.

**Θεοτοκίον.**

Ἡ ἀνύστακτος
ἀντίληψις τῶν δούλων σου,
Θεογεννήτρια,
ἡ ἐναργὴς ἀρωγὴ
καὶ σκέπη, πανύμνητε,
δεῖξον τὴν χάριν σου
τοῖς ἐν ᾄσμασι
φαιδροῖς σε μεγαλύνουσι,
Κεχαριτωμένη Μῆτερ.

**ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.**

Στῦλος, Φιλοθέη, συμπαθείας,
ἐχόρτασας τοῦ πατρός σου τοῖς ἐδέσμασι
τοὺς πεινῶντας, ἔνδοξε
Μάρτυς, καὶ κατηύφρανας
σῇ ἀγωγῇ τὸν Κύριον,
σὸν ἐπουράνιον
Νυμφίον, ᾯ ψυχῆς σου ἰκμάδα
ἔδωκας ὡς προῖκα,
ἐκβλάστημα Τυρνόβου.

Αἴγλῃ θείᾳ περιβεβλημένη
παστάδος ἐπαπολαύεις, Μάρτυς ἔνδοξε,
πόλου καὶ τὸ πρόσωπον
καθορᾷς τὸ ἄῤῥητον
Χριστοῦ, τοῦ σὲ δοξάσαντος
θαυμάτων χαρίσιν,
ὀλβία Φιλοθέη, Τυρνόβου
γόνε καὶ τοῦ Ἄρτζες
φρουρὲ καὶ πολιοῦχε.

Ἴθυνον ἡμᾶς πρὸς σωτηρίας
σκηνώματα, Φιλοθέη ἀθληφόρητε,
ἡ σαφῶς σὰ βήματα
πίστει ὁδηγήσασα
πρὸς ἀναγκῶν τὴν κάλυψιν
πενήτων, πάντιμε,
παιδόαθλε στεῤῥὲ τοῦ Τυρνόβου,

ἡ θαυμαστωθεῖσα
ἀφθόνως οὐρανόθεν.

**Θεοτοκίον.**

Νεῦσον παρακλήσεσι σῶν δούλων
πραΰνουσα τῆς σαρκὸς ἡμῶν σκιρτήματα
τῶν μακαριζόντων σε
καὶ παθῶν ἐκκόπτουσα
ζιζάνια, πανύμνητε
Θεογεννήτρια,
τῶν πίστει προσιόντων σοι, Μῆτερ
Κεχαριτωμένη,
χαρὰ τῶν Χριστωνύμων.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

Ὤμβρισον πιστοῖς
θεόθεν τὴν χάριν σου
τοῖς ἀνυμνοῦσί σου
μαρτυρίου σκάμματα
ἐν ἡλικίᾳ
σμικρᾷ, πανεύφημε,
καὶ προσκυνοῦσι σκήνωμα
σὸν χαριτόβρυτον
ἐν τῇ πόλει
Ἄρτζες, Μάρτυς ἄριστε,
Φιλοθέη, ἧς πέλεις θησαύρισμα.

Στήριγμα πτωχῶν
ἐδείχθης, παιδόαθλε,
καὶ ἀδιάσειστος
στῦλος ἀγαθότητος
καὶ συμπαθείας
πρὸς πάντα στένοντα,
παιδόαθλε πανύμνηε,
Τυρνόβου βλάστημα,
Φιλοθέη,
ἡ λαβοῦσα ἄνωθεν
δαψιλῶς τῶν ἰάσεων χάρισμα.

Χάριτος πηγὴ
ἐδείχθη ἀκένωτος
σὸν θεῖον σκήνωμα,
ὅπερ ὡς ἀσύλητον
ὄλβον κατέχει
καὶ ἀδαπάνητον
ταμεῖον τῶν ἰάσεων,
Μάρτυς παιδόαθλε,
Φιλοθέη,
Ἄρτζες ἡ διάσημος
πόλις τῆς Ῥουμανίας καὶ εὔανδρος.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Θεοῦ,
πηγὴ ἁγιάσματος
τῶν προστρεχόντων σοι,
δὸς πιεῖν τοῖς δούλοις σου
σωτηριώδη
σῆς ἀντιλήψεως
καὶ προστασίας νάματα,
τοῖς μεγαλύνουσι
Φιλοθέης
ἄθλους δοξασάσης σου
τὸν σεπτὸν καὶ πανάχραντον Τόκον σου.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Φιλοθεΐας πρότυπον,
φιλανθρωπίας ἄγαλμα
καὶ βιοτῆς ἰσαγγέλου,
θεοειδὲς Φιλοθέη,
πολύτιμον θησαύρισμα,
χερσὶ πατρῴαις ἤθλησας
ἐν τῷ Τυρνόβῳ, ἄριστα,
καὶ ἰαμάτων θεόθεν
χάριν ἀφθόνως ἐδέξω.

**Θεοτοκίον.**

Ἐπάκουσον δεήσεων
ἡμῶν μακαριζόντων σε

Χριστιανῶν ὡς προστάτιν,
Θεογεννῆτορ Παρθένε,
καὶ τῷ εὐσπλάγχνῳ Τόκῳ σου
αὐτὰς θερμῶς ἀνάγαγε,
τῷ δωρουμένῳ ἅπασιν
ἄμφω ὑγίειαν, ῥῶσιν
ἰσχὺν καὶ σθένος, Κυρία.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος !**

**Μ**άρτυς, Φιλοθέη πάγκαλε,
Τυρνόβου εὖχος λαμπρόν,
εὐωδίᾳ, παιδόαθλε,
τῆς φιλανθρωπίας σου
καὶ ἀγάπης πρὸς στένοντας,
δεινῶς ἀλγοῦντας
καὶ πάντας κάμνοντας,
τῶν Χριστωνύμων
χοροὺς κατηύφρανας,
νῦν ἑορτάζοντας
τὴν ἁγίαν μνήμην σου πνευματικῷ
τρόπῳ μελῳδήμασι
λαμπροῖς καὶ ᾄσμασι.

**Χ**αῖρε, εὐσταλὲς παιδόαθλε,
ἡ μιαιφόνοις χερσὶν
ἐν Τυρνόβῳ ἀθλήσασα,
Φιλοθέη πάντιμε,
τῇ εὐάνδρῳ πατρίδι σου,
καὶ σῶν πανάγνων
αἱμάτων χεύμασι
στολὴν ψυχῆς σου
καταγλαΐσασα,
ἣν πρὶν ἐκόσμησας
μαργαρίταις, πάναγνε, σῆς ἀκραιφνοῦς
ἀγωγῆς καὶ δράσεως
τῆς φιλανθρώπου σου.

Σκῆνος τὸ σεπτόν σου, ἔνδοξε,
μετὰ τὴν σὴν τελευτὴν
ἐβαρύνθη ὡς μόλυβος
καὶ σαφῶς ἀδύνατος
ἡ αὐτοῦ μετακόμισις
ἐκ μαρτυρίου
κατέστη τόπου σου,
ἀλλ’ ἐλαφρύνθη
Θεοῦ τῇ Χάριτι
ὡς ἀπεφάσισαν,
Φιλοθέη πάναγνε, μετενεγκεῖν
τοῦτο, Μάρτυς ἄριστε,
εἰς Ἄρτζες, πίστεως.

Μνήμην, Φιλοθέη, ἄγοντες
πανευλαβῶς οἱ πιστοὶ
τὴν σεπτὴν καὶ πανέορτον
εὐλαβῶς βοῶμέν σοι·
Παιδομάρτυς πανάριστε,
μὴ διαλείπῃς
ἐξ ὕψους δόξης σου
ἱλεουμένη
τὸν Παντοκράτορα
καὶ πολυεύσπλαγχνον
Πλαστουργὸν καὶ Κύριον ἡμῖν, σεμνή,
δοῦναι θεῖον ἔλεος
Αὐτοῦ τὸ ἄμετρον.

**Δόξα. Ἦχος πλ. α´.**

Παιδομάρτυς πανάριστε, Φιλοθέη ἀξιάγαστε,
ἡ ἐν προεφηβικῇ ἡλικίᾳ πολιὸν δεικνῦσα φρόνημα
καὶ τὴν κενωτικήν σου ἀγάπην πρὸς τοὺς πάσχοντας
σφραγίσασα σφραγῖσι μαρτυρίου σου,
ἀξιοχρέως παρὰ Κυρίου δεδόξασαι·
ὅθεν ἡμεῖς σήμερον τὴν μνήμην σου πανηγυρίζοντες
καὶ ὡς στεφηφόρον παιδίσκην Ἀγγέλοις συνοικοῦσαν γεραίροντες
τὰς ἀδιαλείπτους σου πρεσβείας αἰτούμεθα πρὸς Κύριον,
τὸν παρέχοντα πᾶσι τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἀθληφόρου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**
**Ἀπόστολος τῆς Ἁγίας Βαρβάρας.**
**Εὐαγγέλιον τῶν Δέκα Παρθένων, ὅπερ ζήτει τῷ ιζ΄ Σαββάτῳ τοῦ Ματθαίου.**
**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

**Χ**αίροις, παιδομάρτυς θεοφιλές,
Φιλοθέη, γόνε
τοῦ Τυρνόβου περικλεές,
ἧς τὸ θεῖον σκῆνος
ἐν Ἄρτζες Ῥουμανίας
παρέχει τοῖς νοσοῦσιν
ἄμφω ὑγίειαν.

**Τρισσεῦ ον Κύριε Ἐλέησον Λιτῆ ς Ἁγίου Ὄρους.**

***Φιλοθέη,* βλάστημα,* *τοῦ Τυρνόβου,* σθένους με* *παιδομάρτυς,* ἔ μπλησον.**

***Φιλοθέη*, σέμνωμα* *Ἄρτζες*, φίλον γνήσιον* δεῖ ξόν με Νυμφίου σου.**

**Τρίστιχον.**

**Ὑπὲρ Ῥίζου, Βασιλικῆς, Φιλοθέη,**
**γονέων καὶ πάππων, Χαραλάμπης ψάλλει,**
**ψυχῶν ἀναπαύσεως εὔχου, Ἁγία.**